ησεν καὶ αὐτὸς οὐκ ᾔδει, καὶ ἀφεθήσεται αὐτῷ· [19]ἐπλημμέλησεν 19
γὰρ πλημμέλησιν ἔναντι κυρίου.
[20]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [21]Ψυχὴ ἐὰν ἁμάρ- 20 21
τῃ καὶ παριδὼν παρίδῃ τὰς ἐντολὰς κυρίου καὶ ψεύσηται τὰ πρὸς
τὸν πλησίον ἐν παραθήκῃ ἢ περὶ κοινωνίας ἢ περὶ ἁρπαγῆς ἢ ἠδί-
κησέν τι τὸν πλησίον [22]ἢ εὗρεν ἀπώλειαν καὶ ψεύσηται περὶ αὐ- 22
τῆς καὶ ὀμόσῃ ἀδίκως περὶ ἑνὸς ἀπὸ πάντων, ὧν ἐὰν ποιήσῃ ὁ
ἄνθρωπος ὥστε ἁμαρτεῖν ἐν τούτοις, [23]καὶ ἔσται ἡνίκα ἐὰν ἁμάρ- 23
τῃ καὶ πλημμελήσῃ, καὶ ἀποδῷ τὸ ἅρπαγμα, ὃ ἥρπασεν, ἢ τὸ ἀδί-
κημα, ὃ ἠδίκησεν, ἢ τὴν παραθήκην, ἥτις παρετέθη αὐτῷ, ἢ τὴν
ἀπώλειαν, ἣν εὗρεν, [24]ἀπὸ παντὸς πράγματος, οὗ ὤμοσεν περὶ 24
αὐτοῦ ἀδίκως, καὶ ἀποτείσει αὐτὸ τὸ κεφάλαιον καὶ τὸ πέμπτον
προσθήσει ἐπ᾽ αὐτό· τίνος ἐστίν, αὐτῷ ἀποδώσει ᾗ ἡμέρᾳ ἐλεγ-
χθῇ. [25]καὶ τῆς πλημμελείας αὐτοῦ οἴσει τῷ κυρίῳ κριὸν ἀπὸ τῶν 25
προβάτων ἄμωμον τιμῆς εἰς ὃ ἐπλημμέλησεν αὐτῷ. [26]καὶ ἐξιλά- 26
σεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἔναντι κυρίου, καὶ ἀφεθήσεται αὐτῷ
περὶ ἑνὸς ἀπὸ πάντων, ὧν ἐποίησεν καὶ ἐπλημμέλησεν αὐτῷ.
[1]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [2]Ἔντειλαι Ααρων 6
καὶ τοῖς υἱοῖς αὐτοῦ λέγων Οὗτος ὁ νόμος τῆς ὁλοκαυτώσεως·
αὐτὴ ἡ ὁλοκαύτωσις ἐπὶ τῆς καύσεως αὐτῆς ἐπὶ τοῦ θυσιαστηρίου
ὅλην τὴν νύκτα ἕως τὸ πρωί, καὶ τὸ πῦρ τοῦ θυσιαστηρίου καυ-
θήσεται ἐπ᾽ αὐτοῦ, οὐ σβεσθήσεται. [3]καὶ ἐνδύσεται ὁ ἱερεὺς χιτῶνα 3
λινοῦν καὶ περισκελὲς λινοῦν ἐνδύσεται περὶ τὸ σῶμα αὐτοῦ καὶ
ἀφελεῖ τὴν κατακάρπωσιν, ἣν ἂν καταναλώσῃ τὸ πῦρ τὴν ὁλοκαύ-
τωσιν, ἀπὸ τοῦ θυσιαστηρίου καὶ παραθήσει αὐτὸ ἐχόμενον τοῦ
θυσιαστηρίου. [4]καὶ ἐκδύσεται τὴν στολὴν αὐτοῦ καὶ ἐνδύσεται στο- 4
λὴν ἄλλην καὶ ἐξοίσει τὴν κατακάρπωσιν ἔξω τῆς παρεμβολῆς εἰς
τόπον καθαρόν. [5]καὶ πῦρ ἐπὶ τὸ θυσιαστήριον καυθήσεται ἀπ᾽ αὐ- 5
τοῦ καὶ οὐ σβεσθήσεται, καὶ καύσει ὁ ἱερεὺς ἐπ᾽ αὐτὸ ξύλα τὸ
πρωὶ καὶ στοιβάσει ἐπ᾽ αὐτοῦ τὴν ὁλοκαύτωσιν καὶ ἐπιθήσει ἐπ᾽
αὐτὸ τὸ στέαρ τοῦ σωτηρίου· [6]καὶ πῦρ διὰ παντὸς καυθήσεται 6
ἐπὶ τὸ θυσιαστήριον, οὐ σβεσθήσεται.
[7]Οὗτος ὁ νόμος τῆς θυσίας, ἣν προσάξουσιν αὐτὴν οἱ υἱοὶ 7
Ααρων ἔναντι κυρίου ἀπέναντι τοῦ θυσιαστηρίου· [8]καὶ ἀφελεῖ ἀπ᾽ 8
αὐτοῦ τῇ δρακὶ ἀπὸ τῆς σεμιδάλεως τῆς θυσίας σὺν τῷ ἐλαίῳ
αὐτῆς καὶ σὺν τῷ λιβάνῳ αὐτῆς τὰ ὄντα ἐπὶ τῆς θυσίας καὶ ἀνοί-
σει ἐπὶ τὸ θυσιαστήριον κάρπωμα· ὀσμὴ εὐωδίας, τὸ μνημόσυνον
αὐτῆς τῷ κυρίῳ. [9]τὸ δὲ καταλειφθὲν ἀπ᾽ αὐτῆς ἔδεται Ααρων καὶ 9
οἱ υἱοὶ αὐτοῦ· ἄζυμα βρωθήσεται ἐν τόπῳ ἁγίῳ, ἐν αὐλῇ τῆς

23 η $1^0$ > A† || 24 επιπεμπτον A^c || 25 τω > A | αυτω B†] > A
6 3 περι > A† || 5 απ] επ A | πρωι] + πρωι B^c